κύριε, πρὸς σὲ κατέφυγα·
διδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ θεός μου·
ὅτι παρὰ σοὶ πηγὴ ζωῆς,
45 ἐν τῷ φωτί σου ὀψόμεθα φῶς·
παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσίν σε.

## ΠΑΡΟΙΜΙΑΙ

1 1 Παροιμίαι Σαλωμῶντος υἱοῦ Δαυιδ,
ὃς ἐβασίλευσεν ἐν Ισραηλ,
2 γνῶναι σοφίαν καὶ παιδείαν
νοῆσαί τε λόγους φρονήσεως
3 δέξασθαί τε στροφὰς λόγων
νοῆσαί τε δικαιοσύνην ἀληθῆ
καὶ κρίμα κατευθύνειν,
4 ἵνα δῷ ἀκάκοις πανουργίαν,
παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ ἔννοιαν·
5 τῶνδε γὰρ ἀκούσας σοφὸς σοφώτερος ἔσται,
ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται
6 νοήσει τε παραβολὴν καὶ σκοτεινὸν λόγον
ῥήσεις τε σοφῶν καὶ αἰνίγματα.
7 Ἀρχὴ σοφίας φόβος θεοῦ,
σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν·
εὐσέβεια δὲ εἰς θεὸν ἀρχὴ αἰσθήσεως,
σοφίαν δὲ καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσιν.
8 ἄκουε, υἱέ, παιδείαν πατρός σου
καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου·
9 στέφανον γὰρ χαρίτων δέξῃ σῇ κορυφῇ
καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ.
10 υἱέ, μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς,
μηδὲ βουληθῇς, ἐὰν παρακαλέσωσί σε λέγοντες
11 Ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος,
κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως,
12 καταπίωμεν δὲ αὐτὸν ὥσπερ ᾅδης ζῶντα

Prou.: BSA. — *O* = Sy.
1 $1^{1}$ σολομωντος A: cf. subscr. et 25 1 nec non Regn. III 1 10 || $5^{1}$ τωνδε] των τε AC† | γαρ > S*† || $7^{1}$ θεου] κυριου A | $7^{3}$ αρχη] αρετη A† | $7^{4}$ εξουθενουσιν SV† || $8^{1}$ παιδειαν] νομους SA || $9^{1}$ δεξη] εξη A† || $10^{2}$ εαν — fin. ad 11 trahit 𝔐

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/187 UNIVERSITÄT LEIPZIG